# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

7

1910

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Επιμ. Δ της Επ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ Ζ' — 31 Δεκεμβρίου 1910. — ΤΕΥΧΟΣ Δ'.


## ΤΟΥ ΘΕΟΛΟΓΑΚΗ

### ΩΣ ΕΚ ΠΡΟΣΩΠΟΥ ΤΩΝ ΚΑΛΟΥΜΕΝΩΝ ΤΖΥΡΩΝ

Τοιαύτην φέρει ἐπιγραφὴν τὸ κατωτέρω ἀνέκδοτον σκαλάθυρμα, περιλαμβανόμενον ἐν τῷ ὑπ' ἀρ. 225 Φιλολογικῷ κώδικι τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης, φ. 149α-151β. Καὶ ὁ μὲν γράψας αὐτὸ Θεολογάκης εἶνε, ὅσον οἶδα, ἄγνωστος ἄλλοθεν. Φέρει δὲ τὸ ἔργον τοῦτο, γεγραμμένον πιθανῶς κατ' αὐτὸν τὸν δωδέκατον αἰῶνα, καθ' ὃν καὶ ὁ κῶδιξ, χαρακτῆρα ὄχι ἀνόμοιον τοῦ Πωρικολόγου, ὃν εὐλόγως εἰς τὸν αἰῶνα ἐκεῖνον ἀναβιβάζει ὁ Krumbacher[1]. Ὡς ἐν τῷ Πωρικολόγῳ βλέπομεν διαφόρους ὀπώρας προςωποποιουμένας εἰς ἄρχοντας τῆς βυζαντιακῆς αὐλῆς, οὕτω καὶ ἐν τῇ ἀστείᾳ διηγήσει τοῦ Θεολογάκη προςωποποιοῦνται οἱ ἰχθύες.

Εἶνε δὲ τὸ σκαλάθυρμα τοῦτο ἀξιόλογον οὐ μόνον διὰ τὰ ἐν αὐτῷ ὀνόματα ἰχθύων, ὧν τινα, οἷον πλὴν αὐτοῦ τοῦ τῶν *τζύρων* τὸ τῆς *λακέρτας* καὶ τῆς *ῥέγγας*, ξένα ὄντα, ἤδη ἀπὸ τοῦ δωδεκάτου αἰῶνος παρουσιάζονται εἰςηγμένα εἰς τὴν ἑλληνικὴν, ἀλλὰ καὶ ἕνεκα τῶν εἰδήσεων περὶ τῆς ἁλιείας καὶ τῆς ἐμπορίας τῶν τεταριχευμένων ἰχθύων καὶ τῶν εἰς αὐτὴν ἐπιβεβλημένων τελῶν. Καί τινες μὲν τούτων εἶνε οἴκοθεν σαφεῖς, τῶν δὲ λοιπῶν ἡ διευκρίνησις δὲν εἶνε εὔκολος, τό γε νῦν ἔχον. Ὁμοίως δὲ δὲν δύναμαι νὰ διασαφηνίσω τὰ κατὰ τὸν ἐν τῷ ἀνεκδότῳ τούτῳ μνημονευόμενον δοῦκα Κατασάμπαν. Ἴσως δὲ ἦτό τις μισθωτὴς τῆς ἁλιείας καὶ ταριχείας τῶν τζύρων οὕτω

[1] Geschichte der byzantinischen Litteratur σ. 884. Ἑλλην. μεταφράσεως *Σωτηριάδου* Τόμ. Γ' σ. 198.




ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

καλούμενος. Ὡς οἰκογενειακὸν δ' ἐπώνυμον εἶνε γνωστὸν ἐκ συνοδικῆς διαγνώσεως τοῦ πατριάρχου Γεωργίου Β' τοῦ Ξιφιλίνου (1192)[1]. Ἐν δὲ ταῖς λέξεσι *καυκαδηνικῇ προχειρίσει* ὑποκρύπτεται τὸ ὄνομα Καυκαδηνοῦ τινος, οὗ ἀπόγονος ἴσως εἶνε ὁ Θεόδωρος Καυκαδηνός, ὑπὲρ οὗ σώζεται ἐπιστολὴ τοῦ κατὰ τὸν ιδ' αἰῶνα ἀκμάσαντος Δημητρίου Κυδώνη πρὸς μοναχὸν Γουδέλην, ἐκδεδομένη ὑπὸ Boissonade[2]. Οἱ δ' ἐν σ. 357, 2 Λιπαρῖται ὑπομιμνήσκουσιν ἡμᾶς τὸν Βάρδαν Λιπαρίτην, οὗ γίνεται μνεία ἐν ἀνεκδότῳ βυζαντιακῷ ἐπιγράμματι τοῦ ια' ἢ ιβ' αἰῶνος ἐν φ. 23α τοῦ Μαρκιανοῦ κώδικος 524.

Ἐκδίδω δὲ τὸ ἀνέκδοτον τοῦτο ἐπὶ τῇ βάσει ἀντιγράφου, σταλέντος μοι πρὸ ἐτῶν κατὰ παράκλησίν μου ὑπὸ τοῦ ἐν Iglau τῆς Αὐστρίας καθηγητοῦ γυμνασίου κ. Weinberger, εἰς ὃν ἐκφράζω ἐνταῦθα καὶ δημοσίᾳ χάριτας ἐπὶ τῇ προθυμίᾳ.

Ἡμεῖς οἱ τῶν εὐγενῶν Κομάνων ἀπόγονοι καὶ τῷ Εὐξείνῳ πόντῳ προςπλέοντες στρατιῶται ἐλεύθεροι καὶ φώσσατον ἐλαφρόν, ὅπερ οἱ ταξίαρχοι ἐν ταῖς συμπλοκαῖς τῶν πολέμων προβάλλουσι, χώραν οἰκοῦντες στενὴν καὶ δυςχείμερον καὶ διὰ τοῦτο ταύτην καταλιπόντες ὡς μὴ δυναμένην ἐπαρκεῖν ἡμῖν πρὸς τὰς τῶν σωμάτων χρείας, τὸν Εὔξεινον διαβάντες περὶ τὴν Προποντίδα τε εἰςαχθέντες καὶ τῷ βυθῷ τῶν ταύτης νήσων ἐνδιατρίβοντες, διὰ δὲ τὴν πληθὺν τῶν ταύτῃ ὑδάτων τῇ τε στερήσει τῶν συνήθων τροφῶν λιμῷ τήξαντες ἑαυτοὺς καὶ διὰ τοῦτο τζύροι ὀνομασθέντες, ταύτην σοι τὴν δουλικὴν καὶ ἄφημον πρεσβείαν τῷ ἡμετέρῳ δεσπότῃ καὶ κηδεμόνι κυρῷ δούκᾳ τῷ Κατασάμπᾳ ἤδη προαναφέρομεν. Ἐπειδὴ γὰρ ἀκηκόαμεν ἀγανακτεῖν σε τὰ πολλά, ὡς εἰκός, δι' ἡμᾶς καὶ ὡς ἐν μερίμνῃ ἀφορήτῳ ἐνυπάρχειν τὴν σὴν ἐνδοξότητα ἕνεκεν τῆς ἡμῶν βραδύτητος ὅπως τε οὐκ ἐν καιρῷ τῷ συνήθει τὴν προςήκουσαν πορείαν ποιούμεθα, δηλοῦ-

1. εὐξίνω 2. φωσάτον 3. χῶραν 6. εὔξοινον βηθῷ 8. λιμωτήξαντες 10. κηδεμῶνι δοῦκα 13. ἐνὐπάρχειν τὲ 14. πορίαν δῆλον μέν

[1] Ἴδε *Σακκελίωνα* ἐν Δελτίῳ Ἱστορικῆς καὶ Ἐθνολ. ἑταιρείας Τόμ. Γ' σ. 414.
[2] Anecdota nova. Ἐν Παρισίοις 1844 σ. 319 κ. ἑ.

Ε.Σ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μέν σοι ἀναφέροντες τὰ ἡμῖν δίκαια δόξαντα. Ἡμεῖς γάρ, εἰ καὶ σύ γε ὑποκρύπτεις τὸ ἀληθές, οὐ δι' ἄλλο τι ἀπαγορεύομεν κατὰ τὸν συμπεφωνημένον καιρὸν ἀπαντῆσαι, εἰ μὴ ὅτι γε ἐς τὰ μάλιστα ἀδικούμεθα παρὰ σοῦ τὴν ἐσχάτην ὕβριν καὶ καταφρόνησιν ὑπομένοντες. Εἴποιμεν δ' ἂν καὶ τὴν αἰτίαν τῆς ὕβρεως, ἵνα τοῖς πᾶσι τὸ ἡμῶν παρὰ σοῦ ἀδίκημα ἔκδηλον γένηται. Οἶσθα γὰρ ὡς ἡμεῖς καὶ οἱ ἡμῶν προσγενεῖς σκοῦμπροι ἐπ' οὐδενὶ διαφέρομεν ἄλλῳ εἰ μὴ τούτῳ γε μόνον, ὅτι προκρίνομεν ἡμεῖς φανῆναι αὐτοὺς ἔμπροσθέν σου ἡμῶν πρότερον, οὐχ ὡς προέχοντας, ἄπαγε, ἀλλ' ὡς ἀστρατεύτους καὶ χαύνους καὶ οἷον ὡς εἰπεῖν ‖ τραπεζίτας μὴ συνήθεις ὄντας τῆς δυςπραγίας μηδὲ δυναμένους ἀντισχεῖν ὥραν χειμέριον μηδ' ἀντωπῆσαι τοὺς ἡμῶν φονευτὰς ξιφίους τε καὶ ὀρκίνους, ἀλλὰ καὶ τὰς ἐξ Ἀμαζόνων ἀλιτηρίους λακέρτας ληστρικῶς ἐπεμβαινούσας ἡμῖν. Σὺ δέ, τὴν ἡμῶν εἰς τοὺς συγγενεῖς προμήθειαν καὶ εὐλάβειαν ἀγνοῶν, διὰ τιμῆς μὲν ἐκείνους εἰςδέχεσαι, ἡμᾶς δὲ πόρρω ταύτης ὡς ἀναξίους ἐλαύνεις. Ἡμεῖς δέ, εἰ καὶ τὴν αἰτίαν καθυποκρύπτεις αὐτός, ἔκδηλόν σοι διὰ συντόμων ταύτην ποιήσομεν. Σὺ τοίνυν, οὐκ οἴδαμεν τί παθών, ἐκείνους μὲν τῇ τιμῇ προβιβάζων, μόλις τέσσαράς που ἢ πέντε ἐν δηναρίῳ παρέχεις, ἡμῶν δὲ συνασπισμὸν ἕνα ἀρραγῆ, ὢ τῆς ἀδικίας, οὐδὲ ὀβολοῦ τινος ἄξιον κέκρικας. Νομίζομεν δέ σε οὐ δι' ἄλλο τι τοῦτο ποιεῖν, ὅπερ καὶ αὐτὸς ἂν ὁμολογήσειας, εἰ μὴ διὰ τὴν πολυσαρκίαν ἐκείνων καὶ τὴν ἡμῶν πρὸς ταύτην ἐναντιότητα. Τοῦτο δὴ καὶ ποιῶν εὐήθης ἂν καὶ σκαιὸς παρ' ἡμῶν ἤδη κριθήσῃ. Ἣν γὰρ αἰτίαν ἐχρῆν σε διὰ τιμῆς ἔχειν, ταύτην ὡς ἁμάρτημα καὶ ἀδικίαν λογίζῃ, μὴ τοῦ Ἱπποκράτους ἐνωτισάμενος τὴν ἀρίστην φωνὴν τὴν Αἱ εἰς ἄκρον εὐεξίαι σφαλεραί, μηδ' ὅτι γε οἱ ὀλιγόσαρκοι καὶ ξηρότεροι ἄνδρες τοῖς τε ὅπλοις ἀεὶ ἐγκαρτεροῦσι δεινῶς καὶ πᾶσι τοῖς ἄλλοις δεινοῖς γενναίως ἀνταγωνίζονται. Οὐκ ἀκήκοας τοῦ Προφήτου, Ὦ ἄνθρωπε, λέγοντος, τίς ὠφέλεια ἐν τῷ αἵματί μου

φ. 149r

2. ἀλλό 4 (καὶ 6). παρα 7. σκρούμπροι ἀλλο τοῦτο 11. μηδὲ μηδ' ἀντοπῆσαι 12. φωνευτὰς Δὲν φαίνεται ἀνάγκη νὰ γραφῇ ξιφίας. Ἴδε καὶ κατωτέρω σ. 358, 14 13. ἀλητηρίους λιστρικῶς 14. προμύθειαν 16. καθὺποκρύπτεις 17. διασυντόμως. 19. ἀρεγῆ; 20. ἀλλό 22. ἐναντιώτητα 23. σκεὸς 24. διατιμῆς 26. μηδ' 27. ἐνκαρτεροῦσι 29. ὀφέλεια

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε. ... ΙΩΑΝΝΙΝΑ 2006

ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; οὐ τῆς θείας Γραφῆς, βοώσης ἐν ὑψηλῷ τῷ κηρύγματι, ὅτι Σὰρξ καὶ αἷμα βασιλείαν οὐρανῶν οὐ κληρονομήσει, ἀλλ' οἱ τὴν σάρκα καταφρονήσαντες τήν τε εὐπάθειαν πᾶσαν καὶ τὰ γεώδη καὶ χθαμαλὰ τοῦ κόσμου καὶ τὴν ἰσάγγελον πολιτείαν προκρίναντες; Οὐ τοὺς πτωχοὺς καὶ ἀστέγους μακαρίζει τὰ λόγια ἤδη καὶ
φ. 150a ἄλλων πολλῶν; ‖. Ἔχομέν σε εἰπεῖν τὰς φωνὰς διὰ πίστωσιν· ἀρκεῖν δέ σοι οἰόμενοι ὡς εὐσυνέτῳ ἀνδρὶ δι' ὀλίγων τὰ πλεῖστα καταλαβεῖν τὴν συμμετρίαν τε τοῦ λόγου τιμῶντες, τὰ πλείω παρήκαμεν. Εἰ μὲν οὖν εἰσακούσῃ τοὺς λόγους ἡμῶν καὶ τὴν προσήκουσαν τοῖς γενναίοις καὶ ἀλκίμοις διαφυλάξειας ⟨τὴν⟩ αἰδῶ, ἤδη καὶ ἡμεῖς τὴν προσκύνησιν καὶ ὑποταγὴν κατ' ἔτος σοι ἐκτελέσομεν. Εἰ δὲ τοῖς αὐτοῖς ἐναπομένεις σκαιοῖς ἀτοπήμασι, σὲ μὲν αὐτόθι ἐγκαταλείψομεν, ἐπὶ ματαίῳ τὴν κάργαν βοῶντα τῷ τε βεστιαρίῳ δανείζοντα τὰ ἐξ ἀδικίας συναχθέντα σοι χρήματα, ὠρακιῶντά τε ἐπὶ τῇ ἀποτίσει αὐτῶν, ἡμεῖς δέ, σὺν τῷ ἡμετέρῳ ὁμοπτώχῳ καὶ ἀστέγῳ Θεολογίτῃ τὸν Ἑλλήσποντον διαβάντες, τὸν Ἰόνιον διαπλεύσομεν κἀκεῖθεν πρὸς τὰ στενὰ τῶν Γαδείρων καὶ τῶν Ἡρακλέους στηλῶν πορευσόμεθα τὸν Ὠκεανόν τε εἰσδύντες ἐπὶ τὰς τῆς Βρεττανίας νήσους γενόμεθα κἀκεῖσε τὰ νῦν ἐν ἀμεριμνίᾳ ὑπάρξαντες ἐν σχολῇ τὴν σάρκα πληθύνομεν τῇ ἐπιχωρίῳ τε διαλέκτῳ ῥέγκαι ἀντὶ τζύρων κληθέντες σοῦ καταγελασόμεθα, πολλὰ καὶ αὐτὸς ἑαυτὸν καταγνοὺς ἐπὶ τῇ ἀταξίᾳ καὶ ἀδικίᾳ τῇ συνοικούσῃ σε. Ἔρρωσο καὶ ἔστω ὁ πάτος σου ἐγκεκλεισμένος ἐν τύμβῳ.

Ἐλέῳ βασιλικῷ καὶ καυκαδηνικῇ προχειρίσει τιμηθεὶς δικτάτωρ καὶ ἀρχιστράτηγος τῆς ἡμῶν τῶν ἰχθύων πληθύος καὶ πάσης ἄλλης θαλαττοκυηθείσης γενεᾶς καὶ μορφῆς δοὺξ καὶ αὐγουστάλιος ὁ Κατασάμπας [πρὸς] τὴν λιποταχθεῖσαν ἡμῶν μοῖραν καὶ θρασύτητι λη-

3. κλιρονομίσοι 5. εἰσάγγελον 7. Ἀντὶ τοῦ σε γραπτέον σοι;

8. πλεἰστα 9. τὲ 11. αἰδῶ 13. ἐναπομεινεις σκεοῖς ἐν<sup>γ</sup>καταλίψομεν 14. δανείζων 15. ὀρακιῶντα τὲ 17. ἐλίσποντα ἰώνιον 18. στυλῶν 19. βρετανίας Γραπτέον γενησόμεθα; 20. τάνυν ἀμεριμνεία Γραπτέον πληθυνοῦμεν; 21. ρέγκαι 22. Τὰ ἀσύντακτα καὶ αὐτὸς... καταγνοὺς ἐγράφησαν πιθανώτατα οὕτως ὑπ' αὐτοῦ τοῦ συγγραφέως. 23. Τὸ σε διορθωτέον εἰς σοι ἢ ἡ γραφὴ οὕτως ὑπ' αὐτοῦ τοῦ συγγραφέως; ἐγκεκλυσμένος 25. καυκαδηνικὴ προχειρήσει 28. λειποταχθεῖσαν μοίραν

φθεῖσαν τῶν τζύρων ταύτην τὴν μετ' ὀργῆς ἐπιστέλλω γραφὴν διὰ τῶν ὑμῶν πρεσβευτῶν Λιπαρίτων ἔχουσαν οὕτως·

Ὑμεῖς, ὡς ἔοικε, τῇ ἐμοῦ θαρρήσαντες γαληνότητι καὶ διὰ ταύτην θαρρήσαντες μανικῶς ὡς σκαιοὶ χωρῖται καὶ βάρβαροι, ἐπαπει-||λήσεις ποιεῖτέ τινας πρὸς ἡμᾶς ὥςπερ εἰς τινας συγχωρίτας ὑμῶν φ. 150ᵛ καὶ βαναύσους, ληροῦντες τοιαῦτα, ὅσον ἡμᾶς μὲν ἀκοῦσαι ἀσπούδαστα, τὴν ὑμῶν δὲ κακοβουλίαν καὶ σκαιότητα παρελέγχοντα. Οὐκ οἶδα δ' εἰς τί θαρρήσαντες ταύτην τὴν τόλμαν ἐξετολμήσατε, ἤ μάλα μέγα κακὸν ἡ ἀβουλία καὶ τὸ δυςκάθεκτον τῶν πολλῶν, ὡς ὁ Εὐριπίδης Ἐν τοι μυρίῳ στρατεύματι ἀκόλαστος ὄχλος ναυτική τ' ἀναρχία, ἐξ ἧς καὶ ἡμεῖς. Εἰ μὲν οὖν ἡ ἀνωφελὴς πληθὺς ἡμῶν εἰς ταύτην ὑμᾶς ἐξήνεγκε τὴν φρενῶν ἔνδειαν, σκοπήσατε εἴπερ καταλέλειπται εἰς ὑμᾶς καί τι φρονήματος ἄξιον, ὅτι οὐχ οἱ πλεῖστοι, ἀλλ' οἱ γενναῖοι τὰ τρόπαια συνιστῶσιν ἐν τοῖς πολέμοις. Οὐκ ἠκούσατε τοὺς μετὰ Ἀράτου ἑξακοσίους πόσους Σπαρτιατῶν τοὺς ἐκκρίτους ἀπώλεσαν; Οὐχὶ τοὺς μετὰ Λουκούλλου τριςμυρίους πόσους τῶν Περσαρμενίων ἐφόνευσαν καὶ Τιγράνην καὶ Μιθριδάτην ἐξέβαλον τῆς ἀρχῆς; Οὐ τοὺς μετὰ Ἀλεξάνδρου ὁμοίως καὶ πεντακιςχιλίους Μακεδόνας ὡς τὸν Δαρεῖον ἐκπολεμήσαντας τρίς, [οἳ] σὺν τῷ ζῆν αὐτῷ καὶ πᾶσαν τὴν Ἀσίαν ἀφείλοντο; Οὐ τοὺς μετὰ Ξενοφῶντος μυρίους ὅπως κατεφρόνησαν Ἀρταξέρξου, καὶ ταῦτα, τοῦ σφῶν Κύρου πεσόντος, εὐσυντάκτως διελθόντας τὴν Ἀσίαν ξενοτρόπως εἰς τὴν ἐνεγκαμένην ἀφίκοντο, τοῖς ἐντυγχάνουσιν αὐτοῖς δράσοντές τι κακόν, ἢ παθόντες, δι' οὗ καὶ ἕως τῆς σήμερον μακαρίζονται; Καὶ τί δεῖ με τοὺς γενναίους ἀπαριθμεῖν καὶ τὰ σύντροφα τούτων ἔργα ἐκδιηγεῖσθαι ὑμῖν οὖσι τοιούτοις, καθὼς καὶ προείρηκα; Ἀλλ' ἔδει γάρ με ὡς ἀληθῶς ἐπιδεῖξαι ὑμῖν τὴν σύνοικόν μοι ὑπεροχὴν καὶ τὸ πολὺ καὶ ὑπέρτερον τῆς δυνάμεως τῆς ἐμῆς. Ἐπειδὴ δὲ τῶν ἀδυνάτων δεδιδάγμεθα βαστάζειν τὰ βάρη καὶ τοῖς πταίουσι συγγνώμην παρέχειν, ταύτην καὶ εἰς ἡμᾶς ἐπιβραβεύω || δὴ τὴν φιλανθρωπίαν καὶ δι' αὐτῆς τὸ ὑμέτε- φ. 151ʳ ρον συμφέρον καὶ ἀσφαλὲς τίθημι. Φημὶ γὰρ πρὸς ὑμᾶς, ὡς, εἰ μὲν βουλομένοις ὑμῖν ἀποδρᾶσαι πολὺν ἤδη ὄντα τὸν κίνδυνον καὶ σὺν

4. σκεοὶ χωρῖται 5. ποιεῖτε τινὰς 10. τί 11. ἐξῆς 15. ἑξακοσίους 16. λουκούλου 20. ἀφείλαντο 23. ἀφηκόντας 25. ἀπαριθμεῖν 32. ἀποδράσαι

εὐτάκτῳ καὶ καλῇ πολιτείᾳ τῇ πρώην συνυπαρχούσῃ ἡμῖν βουληθείητε βιῶσαι εἰς τὸ ἑξῆς τὴν μετάθεσιν τῆς ζωῆς ὑμῶν εἰς τὴν τοῦ χρόνου φυσικὴν ἔφοδον ἀναθήσαντες, τῷ καιρῷ τε καὶ τῇ τύχῃ τὰ πρόσφατα καὶ ἀναγκαῖα παραχωροῦντες, ἡμῖν δὲ τοῖς λαχοῦσιν ὑμῶν προστατεῖν τὴν προσήκουσαν τιμὴν ἀπονέμοντες ἀφιλονείκως καὶ ἀνερεθίστως τὰ βουλητὰ ἐκζητοῦντες. Οὐδεὶς γὰρ παρακαλῶν ἀπειλεῖ, οὐδὲ ὁ ζητῶν ἐρεθίζει, κἀγὼ παρακληθήσομαι ἤδη καὶ τῇ ὑμῶν πληθύι συγγνώμην ἐπιβραβεύσω. Εἰ δ', ὅπερ ὑμῖν ἀπεύχομαι, τὸ τῶν πολλῶν καὶ ἀνοήτων ἐπεισέλθοι ἁμάρτημα, τὸ τοῖς κυρίοις ἀθετεῖν καὶ ζητεῖν ἃ οὐκ ἔξεστι, ταύτην εἰς ὑμᾶς ἐξαποστελῶ τὴν σατραπικήν μου πᾶσαν δύναμιν καὶ ἰσχύν, ἣ τελείως ὑμᾶς διασπάσασα προϊάψει τῷ ᾍδῃ. Ἐξαποστελῶ δὲ ἐκ μὲν Εὐξείνου πόντου πᾶσαν σαυροματικὴν καὶ κουμανικὴν δύναμιν τῶν κυνίσκων σὺν ὀρκίνοις καὶ τοῖς ξιφίοις. Ἐξαποστελῶ τοὺς ὑμῶν ἀσυμπαθεῖς φονευτὰς δελφίνους καὶ τὰς ἐξ Ἀμαζόνων λακέρτας μέχρι ὁρίων Καλλιουπόλεως, Λαμψάκου καὶ τῶν Αἰγὸς ποταμῶν, ἀπὸ δὲ τῶν ἔξωθεν Ἑλλησπόντου, ἀπό τε νήσων καὶ κόλπων αἰγαιακῶν, ἰωνικῶν, σαρδονικῶν καὶ ἀτταλικῶν συμμαχίαν αἰτήσομαι, ἣν εἰώθασιν οἱ ἐκεῖσε δεσπόται ὡς ὄφλημά τι χρονικῶς εἰς τὴν ἡμῶν ἀποστέλλειν, λέγω δὴ καὶ τοὺς ἐκείνων κυνίσκους καὶ ἀνθρωπομόρφους φωκίας σὺν λαβρακίοις, φαγρίοις καὶ συναγρίδεσιν· ἥτις δὴ δύναμις πᾶσα συναθροισθεῖσα διὰ τῶν κάτω στενῶν ἀπό τε Καλλιγαρίων μέχρι καὶ τοῦ ἀντιπέραν Σκαμάνδρου
φ. 151ε ζεῦγμα ἂν ποιήσειε καὶ συνασπισμὸν ‖ ὥσπερ γαιώσασα τὸν πορθμὸν εἰς σχῆμα ἰσθμοῦ καὶ τὴν Ἀσίαν τῇ Εὐρώπῃ συνάψασα, μηδὲν τοῦ τοῦ Ξέρξου εἰς δύναμιν ἀποδέουσαν, οὐδένα τὴν ἐκεῖσε ὑμῶν περαιοῦσθαι ἐάσει. Ὑμεῖς δὲ τὴν μέσην λαχόντες ἄοπλοι καὶ χαῦνοι, καθάπερ ἐπίστασθε, σπάραγμα πᾶσι τοῖς τε κυσὶ καὶ τοῖς σαρκοφάγοις ὀρνέοις γενήσεσθε, ὑπόδειγμα σαφὲς τοῖς μεταγενεστέροις καταλιπόντες καὶ παράδειγμα ἀσφαλὲς μηδένα τῶν ἀπόρων καὶ χθαμαλῶν τοῖς σφῶν

1. συνὑπαρχοῦση 5. ἀναιρεθίστως 6. παρακαλὼν 7. αἰρεθίζει 8. συγγνώμην 9. ἐπισέλθοι 10 (καὶ 12, 14). ἐξαποστελλῶ 11. τελίως 12. εὐξοίνου 13. ὀρκίνοις 14. Διορθωτέον δελφῖνας; 15. ὡρίων λαψάκου 16. ἔξοθεν ἐλισπόντου 17. ἰονικῶν ἀταλικῶν 19 χρονικῶ 20. λαυρακίοις 23. ζεῦμα πορμὸν 24. τὸ τοῦ 25. περεοῦσθαι 28. μεταγενεστέροις 29. μὴδένα

κυρίοις ἀντικαθίστασθαι μηδὲν ἀνονήτοις ἐπιχειρεῖν ἢ κατὰ Μαργίτην ἐκεῖνον τὰ κύματα τῆς θαλάσσης ἐθέλειν μετρεῖν, ἀλλ' ἣν σπάρταν ὁποῖος ἔλαχε κἀκείνην ὡς ἡ παροιμία φερέτω. Ἀλλὰ τὴν συμμετρίαν ἤδη τῷ λόγῳ παραχωρήσωμεν, ὡς ἡ πολυλογία τῶν ἀδυνάτων, τὸ δὲ ἔργον τῶν ἰσχυρῶν. Ὑμεῖς δὲ συναθροισθέντες κοινῇ καὶ τὴν γραφήν μου τοῖς πᾶσι κοινολογήσαντες, τὸ συμφέρον ὑμῖν ποιήσοιτε ἂν καὶ συνεργὸν ἐν ἀγαθοῖς ἐς τὸν ἅπαντα. Ἔρρωσθε διδουλωμένοι τυγχάνοντες.

---

οι
1. ἀνινήτοις     6. ποιήσειτε